ὄψεις δὲ μᾶλλον, στῆθος, ὀσφὺν καὶ πόδας,
γήρᾳ προώρῳ πρὸς νόσων τετρυμένος,
πρὸς συντονωτάτων δὲ φροντίδων πλέον,
καὶ πρὸς πόνων, ὧν οὐκ ἔληξεν οὐδέπω.

Εἴτω δὲ δόξῃ ταῦτ᾽ ἀήθη νῦν ὅλως,
ἧττον τ᾽ ὀνήσιμ᾽, εἴτε κάπνος εἰσάπαν
Ποιητικός τις· ἀλλὰ τῷγε σκεπτέον
ὀρθῶς ἕκαστον τῶν ἐπῶν τῶνδ᾽ ὡς ἔνι
προσεκτικῶς τε· ῥᾷον εὑρήσει δ᾽ ὅγε
ἐν τοῖσδ᾽ ὁπωσοῦν ἔμπεδον θεωρίαν
ὡς εἰκὸς ἀρχῶν ἐκ σαφῶν εἰλημμένην,
ἄντλημα κρουνῶν ἐκ παλαιῶν καὶ νέων,
ἐν τοῖσδε καὶ γὰρ τὴν πρὶν ἐσκιασμένην
ἀρχὴν ἀρίστην τοῦ ἐν Ἰατροῖς λόγου, (α)
αἰνιγματωδῶς οἱονεὶ τ᾽ εἰρημένην,
καὶ τῷ ζοφώδει τῶν ὅρων ἐπτυγμένην,
ἐς φῶς ἂν εὕροι τήνδ᾽ ὅγ᾽ ἐξηνεγμένην
δι᾽ ἐμφανῶν ἔναγχος ἐξευρημάτων,
ὡρισμένην σαφῶς τε κἀνεπτυγμένην,
τὸ τῆσδ᾽ ὅσον τε ῥᾷον ἂν γνοίη σθένος.
κἀνθένδε πληθὺν ὄψετ᾽ ἀξιωμάτων
νόσων ἀκεσμοῖς ἔκπαλ᾽ ἐξευρημένων,
ἀλθέξεως δὴ γνώμονάς τε καὶ τρόπους
σαφεστέροις λόγοισιν ἠμπεδωμένους
δεδειγμένους τε· συντόμως φάναι δέ τοι

ξυ-

(α) Ἱπποκρ. περὶ τόπων τῶν κατ᾽ ἄνθρ. δ.